# ΑΚΟΛΟΥΘΙΑ
# ΤΗΣ ΥΠΕΡΑΓΙΑΣ
# ΔΕΣΠΟΙΝΗΣ ΗΜΩΝ ΘΕΟΤΟΚΟΥ
# ΚΑΙ ΑΕΙΠΑΡΘΕΝΟΥ ΜΑΡΙΑΣ
# ΤΗΣ ΑΝΤΙΦΩΝΗΤΡΙΑΣ


Ποιηθεῖσα

ὑπὸ τοῦ ἐκ τῶν Ἀδελφῶν

τῆς σεβασμίας Μονῆς τῆς Ἀγκαράθου

Ἱερομονάχου Κυρίλλου Κογεράκη.



**Παναγία ἡ Ἀντιφωνήτρια.**
Παλαιά, ἐφέστιος εἰκών, εὑρισκομένη εἰς τὸν Ἱ. Ναὸν Γενεθλίου τῆς Θεοτόκου, Μυριοκεφάλων, Ῥεθύμνου Κρήτης.

# ΣΕΠΤΕΜΒΡΙΟΥ ΙΑ΄
# ΣΥΝΑΞΙΝ ΕΠΙΤΕΛΟΥΜΕΝ ΕΙΣ ΤΙΜΗΝ ΤΗΣ ΥΠΕΡΑΓΙΑΣ ΔΕΣΠΟΙΝΗΣ ΗΜΩΝ ΘΕΟΤΟΚΟΥ ΚΑΙ ΑΕΙΠΑΡΘΕΝΟΥ ΜΑΡΙΑΣ ΤΗΣ ΑΝΤΙΦΩΝΗΤΡΙΑΣ ΗΣ Η ΠΑΝΣΕΒΑΣΜΙΟΣ ΕΙΚΩΝ ΕΝ Τῌ͂ ΜΟΝῌ͂ ΤΩΝ ΜΥΡΙΟΚΕΦΑΛΩΝ ΤΕΘΗΣΑΥΡΙΣΤΑΙ*

## ΕΙΣ ΤΟΝ ΜΙΚΡΟΝ ΕΣΠΕΡΙΝΟΝ

Ἱστῶμεν στίχους δ΄ καὶ ψάλλομεν τὰ κάτωθι Στιχηρὰ Προσόμοια.

Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.

Δεῦτε φιλέορτοι πάντες, ἀγαλλιώμενοι, ἐν Μυριοκεφάλων, τῇ Μονῇ συνελθόντες, τὴν μόνην Θεοτόκον ἐν ἱεραῖς, μελῳδίαις τιμήσωμεν, ὅτι ἡμῖν ὡς ἁγίασμα νοητόν, τὴν Εἰκόνα αὐτῆς δέδωκε.

Τὴν κεκρυμμένην τὸ πάλαι, σεπτὴν Εἰκόνα σου, ὁ κτίτωρ Ἰωάννης, ἀνευρὼν παραδόξως, ἐδείματο ναόν σοι, πίστει θερμῇ, ἐν ᾧ Μῆτερ πανάχραντε, οἱ εὐσεβεῖς νῦν ἑστῶτες χαρμονικόν, αἶνον ᾄδομεν τῇ δόξῃ σου.

Ζωοπαρόχους ἀΰλους, ἐκβλύζει χάριτας, ὡς κρήνη ζωοδόχος, ἡ ἁγία Εἰκών σου, ἀρδεύουσα πλουσίως, Μῆτερ σεμνή, τὰς ψυχὰς τῶν βοώντων σοι· χαίροις ἡ πάντων δεσπόζουσα Μαριάμ, Θεοτόκε ἀπειρόγαμε.

Ἀντιφωνήτρια κόρη, νῦν τὴν ἐμφέρειαν, Μορφῆς σου τῆς ἀχράντου, σχετικῶς προσκυνοῦντες, κηρύττομεν ἐμφρόνως, τὰ ὑπὲρ νοῦν, μεγαλεῖα τῆς δόξης σου, δι᾽ ὧν ἡμᾶς διασῴζεις ἐκ πειρασμῶν, νοσημάτων τε καὶ θλίψεων.

Δόξα Πατρί. Ἦχος β΄.

Ἀντιφωνήτρια κόρη πανύμνητε, Μυριοκεφάλων Μονῆς τὸ κραταίωμα, καὶ ἀσφαλὲς τῶν πιστῶν καταφύγιον, τοὺς τῇ εὐαγεῖ σου Εἰκόνι, ἐν κατανύξει ψυχῆς προσπελάζοντας, τῇ μητρικῇ σου πρεσβείᾳ, ἀπὸ παντοίων ῥῦσαι συμφορῶν, καὶ τῆς πικρᾶς μανίας, ἐχθροῦ τοῦ ἀλάστορος.

Καὶ νῦν. Τῆς Ἑορτῆς.

Εἰς τὸν Στίχον, Στιχηρὰ Προσόμοια.
Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.

Στάμνος τῶν θεϊκῶν, ὑπάρχει δωρεῶν σου, Εἰκών σου ἡ ἁγία, ἐν Μυριοκεφάλοις, ἀποκειμένη Δέσποινα.

---

* Ἡ Ἀκολουθία τῆς Ὑπεραγίας Θεοτόκου, τῆς Ἀντιφωνητρίας, ἐποιήθη ἐν ἔτει 1999 ὑπὸ τοῦ Ἱερομονάχου Κυρίλλου Κογεράκη, προτροπῇ τοῦ Σεβασμιωτάτου Μητροπολίτου Ῥεθύμνης καὶ Αὐλοποτάμου κ. κ. ΑΝΘΙΜΟΥ καὶ δημοσιεύεται τὸ πρῶτον ἐνταῦθα.

Στίχ. Μνησθήσομαι τοῦ ὀνόματός σου...

Βλύζεις ὡς ἐκ πηγῶν, Παρθένε σωτηρίου, ἐκ σῆς σεπτῆς Εἰκόνος, τοῖς εὐσεβέσι νᾶμα, τερπνῆς ἀγαλλιάσεως.

Στίχ. Τὸ πρόσωπόν σου λιτανεύσουσιν οἱ πλούσιοι...

Δέσποινα τοῦ παντός, σὺν τῷ θεράποντί σου, ὁσίῳ Ἰωάννῃ, Χριστὸν ἀεὶ δυσώπει, ὑπὲρ λαοῦ καὶ ποίμνης σου.

Δόξα Πατρί. Τριαδικόν.

Πνεύματος τοῦ Πατρός, ὁ Λόγος ἐπελεύσει, ἐκ σοῦ ἐνανθρωπήσας, ἐχρήσατο ὡς θρόνον, Παρθένε τὰς ἀγκάλας σου.

Καὶ νῦν. Θεοτοκίον.

Ἴωμεν οἱ πιστοί, δοξάζοντες τὴν Κόρην· ἐτέχθη γὰρ ἐκ στείρας, τὴν στειρωθεῖσαν φύσιν, ἡμῶν ἀνακαινίζουσα.

Νῦν ἀπολύεις, τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον ἐκ τοῦ Μεγάλου Ἑσπερινοῦ καὶ Ἀπόλυσις.

## ΕΙΣ ΤΟΝ ΜΕΓΑΝ ΕΣΠΕΡΙΝΟΝ

Μετὰ τὸν Προοιμιακόν, στιχολογοῦμεν τὸ Μακάριος ἀνήρ. Εἰς δὲ τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν στίχους η΄ καὶ ψάλλομεν τῆς Ἑορτῆς· Ἰδιόμελα δ΄ καὶ τῆς ἁγίας Εἰκόνος τὰ κάτωθι δ΄ Στιχηρὰ Προσόμοια.

Ἦχος δ΄. Ὡς γενναῖον ἐν Μάρτυσιν.

Τὴν ἁγίαν Εἰκόνα σου, ὡς ὑπέρλαμπρον σκήνωμα, τῆς ἐνθέου δόξης σου Ἀειπάρθενε, πιστῶς τιμῶμεν οἱ δοῦλοί σου, καὶ πόθῳ βοῶμέν σοι· χαῖρε Μῆτερ τοῦ Θεοῦ, ἡ τῶν πάντων δεσπόζουσα, ἡ κυήσασα, τὸν Δεσπότην τοῦ κόσμου ἀπειράνδρως, καὶ αὐτὸν ἐν ταῖς σεπταῖς σου, φρικτῶς ἀγκάλαις βαστάσασα.

Παραδόξως φωνήσασα, Ἰωάννῃ τῷ κτίτορι, ἐκ τοῦ δάσους Δέσποινα ἀειπάρθενε, τὴν κεκρυμμένην Εἰκόνα σου, αὐτῷ ἐφανέρωσας, ὃς δειμάμενος ναόν, τῆς σῆς δόξης περίβλεπτον, ταύτην ἄχραντε, ἐν αὐτῷ ἐναπέθεσε θαυμάτων, τοῖς σοῖς δούλοις ἐνεργοῦσαν, ὑπερφυῶς τὰ τεράστια.

Τὴν τελοῦσαν πρὶν ἄγνωστον, τῆς Μορφῆς σου ἐμφέρειαν, τοῦ πυρὸς Πανάχραντε διασώσασα, τῷ Ἰωάννῃ φωνήσασα, φρικτῶς ἀπεκάλυψας, καὶ ἀνέδειξας αὐτήν, πρυτανεῖον σῆς χάριτος, ᾗ προστρέχοντες, οἱ πιστοὶ ἀρυόμεθα πλουσίως, τῆς θερμῆς ἐπισκοπῆς σου, καὶ ἀγαθότητος νάματα.

Οἷα κλῆρον ἀκήρατον, Ἰωάννης ὁ ὅσιος, τοῖς πιστοῖς κατέλιπε τὴν Εἰκόνα σου, καὶ ὡς κυπρίζουσαν ἄμπελον, αὐτὴν κατεφύτευσεν, ἐν τῇ θείᾳ σου Μονῇ, ᾗ προστρέχοντες πάντοτε, μετὰ πίστεως, ἀκορέστως τοὺς βότρυας τρυγῶμεν, τῶν ἁγίων δωρεῶν σου, Ἀντιφωνήτρια Δέσποινα.

Δόξα Πατρί. Ἦχος πλ. β΄.

Σήμερον τῇ ἀποδόσει Παρθένε, τῆς ἑορτῆς τοῦ ἐνδόξου Γενεσίου σου, ἐν Μυριοκεφάλων τῇ Μονῇ συνελθόντες, ἑορτὴν καινὴν συνεορτάζομεν, τῆς σεβασμίας σου Εἰκόνος, ἣ Ἀντιφωνήτρια παρὰ πάντων, προσφυῶς ἐπικέκληται· καὶ πρὸ αὐτῆς εὐλαβῶς, γόνυ καρδίας καὶ σώματος κλίνοντες, οἱ δοῦλοί σου ἀναβοῶμέν σοι· χαῖρε ἡ τεκοῦσα φρικτῶς, τὸν μονογενῆ Υἱὸν τοῦ Πατρός, ἵνα ἡμᾶς δείξῃ κοινωνούς, φύσεως θειοτέρας· χαῖρε ἐν νεάνισιν ἀνύμφευτος, ἄφθορος καὶ μόνη ὠδίνων χωρίς, λοχευσαμένη ἀποῤῥήτως, Λόγον τὸν ἀκατάληπτον· χαῖρε ἀχειρότευκτος σκηνὴ καὶ θεότευκτος, ἐν ᾗ Θεὸς τὴν σάρκα ἐνυμφεύσατο. Ἀλλ' ὦ ὑπέρκαλλε Κόρη, μὴ ἀφ' ἡμῶν ἀποστρέψῃς, ὡς εὐμενὴς τὸ πρόσωπόν σου, τῶν ἐπιβοωμένων πιστῶς, τὸ ἔλεός σου παντευλόγητε.

Καὶ νῦν. Τῆς Ἑορτῆς.

Εἴσοδος, τὸ Φῶς ἱλαρόν, τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα.

Γενέσεως τὸ Ἀνάγνωσμα
(Κεφ. κη΄ 10)

Ἐξῆλθεν Ἰακὼβ ἀπὸ τοῦ φρέατος τοῦ ὅρκου, καὶ ἐπορεύθη εἰς Χαῤῥάν. Καὶ ἀπήντησε τόπῳ, καὶ ἐκοιμήθη ἐκεῖ· ἔδυ γὰρ ὁ ἥλιος· καὶ ἔλαβεν ἀπὸ τῶν λίθων τοῦ τόπου, καὶ ἔθηκε πρὸς κεφαλῆς αὐτοῦ, καὶ ἐκοιμήθη ἐν τῷ τόπῳ ἐκείνῳ, καὶ ἐνυπνιάσθη. Καὶ ἰδοὺ κλῖμαξ ἐστηριγμένη ἐν τῇ γῇ, ἧς ἡ κεφαλὴ ἀφικνεῖτο εἰς τὸν οὐρανόν· καὶ οἱ Ἄγγελοι τοῦ Θεοῦ ἀνέβαινον, καὶ κατέβαινον ἐπ' αὐτήν· ὁ δὲ Κύριος ἐπεστήρικτο ἐπ' αὐτῆς, καὶ εἶπεν· Ἐγὼ εἰμὶ ὁ Θεὸς Ἀβραὰμ τοῦ Πατρός σου, καὶ ὁ Θεὸς Ἰσαάκ, μὴ φοβοῦ· ἡ γῆ, ἐφ' ἧς σὺ καθεύδεις ἐπ' αὐτῆς, σοὶ δώσω αὐτήν, καὶ τῷ σπέρ-

ματί σου. Καὶ ἔσται τὸ σπέρμα σου ὡσεὶ ἄμμος τῆς γῆς, καὶ πλατυνθήσεται ἐπὶ θάλασσαν, καὶ λίβα, καὶ βοῤῥᾶν, καὶ ἐπὶ ἀνατολάς· καὶ ἐνευλογηθήσονται ἐν σοὶ πᾶσαι αἱ φυλαὶ τῆς γῆς, καὶ ἐν τῷ σπέρματί σου. Καὶ ἰδοὺ ἐγώ εἰμι μετὰ σοῦ, διαφυλάσσων σε ἐν τῇ ὁδῷ πάσῃ, οὗ ἐὰν πορευθῇς· καὶ ἐπιστρέψω σε εἰς τὴν γῆν ταύτην· ὅτι οὐ μή σε ἐγκαταλείπω, ἕως τοῦ ποιῆσαί με πάντα ὅσα ἐλάλησά σοι. Καὶ ἐξηγέρθη Ἰακὼβ ἐκ τοῦ ὕπνου αὐτοῦ, καὶ εἶπεν· Ὅτι ἐστὶ Κύριος ἐν τῷ τόπῳ τούτῳ, ἐγὼ δὲ οὐκ ᾔδειν. Καὶ ἐφοβήθη, καὶ εἶπεν· Ὡς φοβερὸς ὁ τόπος οὗτος! οὐκ ἔστι τοῦτο, ἀλλ' ἢ οἶκος Θεοῦ, καὶ αὕτη ἡ πύλη τοῦ οὐρανοῦ.

### Προφητείας Ἰεζεκιὴλ τὸ Ἀνάγνωσμα
(Κεφ. μγ' 27, μδ' 11)

Ἔσται ἀπὸ τῆς ἡμέρας τῆς ὀγδόης, καὶ ἐπέκεινα, ποιήσουσιν οἱ Ἱερεῖς ἐπὶ τὸ Θυσιαστήριον τὰ ὁλοκαυτώματα ὑμῶν, καὶ τὰ τοῦ σωτηρίου ὑμῶν· καὶ προσδέξομαι ὑμᾶς, λέγει Κύριος. Καὶ ἐπέστρεψέ με κατὰ τὴν ὁδὸν τῆς πύλης τῶν Ἁγίων τῆς ἐξωτέρας, τῆς βλεπούσης κατὰ ἀνατολάς, καὶ αὕτη ἦν κεκλεισμένη. Καὶ εἶπε Κύριος πρός με· Ἡ πύλη αὕτη κεκλεισμένη ἔσται, οὐκ ἀνοιχθήσεται, καὶ οὐδεὶς οὐ μὴ διέλθῃ δι' αὐτῆς· ὅτι Κύριος ὁ Θεὸς Ἰσραὴλ εἰσελεύσεται δι' αὐτῆς, καὶ ἔσται κεκλεισμένη. Διότι ὁ Ἡγούμενος οὗτος κάθηται ἐπ' αὐτήν, τοῦ φαγεῖν ἄρτον ἐνώπιον Κυρίου· κατὰ τὴν ὁδὸν τοῦ αἰλὰμ τῆς πύλης εἰσελεύσεται, καὶ κατὰ τὴν ὁδὸν τῆς πύλης τῆς πύλης τῶν Ἁγίων τῆς πρὸς βοῤῥᾶν, κατέναντι τοῦ οἴκου· καὶ εἶδον, καὶ ἰδοὺ πλήρης δόξης ὁ οἶκος Κυρίου.

### Παροιμιῶν τὸ Ἀνάγνωσμα.
(Κεφ. θ' 1)

Ἡ σοφία ᾠκοδόμησεν ἑαυτῇ οἶκον, καὶ ὑπήρεισε στύλους ἑπτά. Ἔσφαξε τὰ ἑαυτῆς θύματα, καὶ ἐκέρασεν εἰς κρατῆρα τὸν ἑαυτῆς οἶνον, καὶ ἡτοιμάσατο τὴν ἑαυτῆς τράπεζαν. Ἀπέστειλε τοὺς ἑαυτῆς δούλους, συγκαλοῦσα μετὰ ὑψηλοῦ κηρύγματος, ὡς ἐπὶ κρατῆρα, λέγουσα· Ὅς ἐστιν ἄφρων, ἐκκλινάτω πρός με· καὶ τοῖς ἐνδεέσι φρενῶν εἶπεν· Ἔλθετε, φάγετε τὸν ἐμὸν ἄρτον, καὶ πίετε οἶνον, ὃν κεκέρακα ὑμῖν· ἀπολίπετε ἀφροσύνην, καὶ ζήσεσθε· καὶ ζητήσατε φρόνησιν, ἵνα βιώσητε, καὶ κατορθώσητε σύνεσιν ἐν γνώσει. Ὁ παιδεύων κακούς, λήψεται ἑαυτῷ ἀτιμίαν· ἐλέγχων δὲ τὸν ἀσεβῆ μωμήσεται ἑαυτόν· (οἱ γὰρ ἔλεγχοι τῷ ἀσεβεῖ, μώλωπες αὐτῷ). Μὴ ἔλεγχε κακούς, ἵνα μὴ μισήσωσί σε· ἔλεγχε σοφόν, καὶ ἀγαπήσει σε. Δίδου σοφῷ ἀφορμήν, καὶ σοφώτερος ἔσται· γνώριζε δικαίῳ, καὶ προσθήσει τοῦ δέχεσθαι. Ἀρχὴ σοφίας, φόβος Κυρίου, καὶ βουλὴ Ἁγίων σύνεσις· (τὸ γὰρ γνῶναι Νόμον, διανοίας ἐστὶν ἀγαθῆς). Τούτῳ γὰρ τῷ τρόπῳ πολὺν ζήσεις χρόνον, καὶ προστεθήσεταί σοι ἔτη ζωῆς.

## ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ, Ἰδιόμελα.

### Ἦχος α'.

Εὐφραίνου ἐν Κυρίῳ, Μυριοκεφάλων ἡ ἐξάκουστος Μονή, ὡς θησαυρὸν θησαυρίζουσα ἀσύλητον, τῆς Ἀντιφωνητρίας Παρθένου, Εἰκόνα τὴν πανσέβαστον· καὶ ἐξ αὐτῆς τὰς δωρεάς, τῆς χάριτος ἀρυομένη, τὴν περίοικον συγκάλεσον ἑορτάζουσα, καὶ γηθοσύνως βόησον· χαῖρε Κεχαριτωμένη, Μῆτερ ἡ τῶν πάντων δεσπόζουσα, μετὰ σοῦ ὁ Κύριος, ὁ διὰ σοῦ παρέχων τοῖς πιστοῖς, ἱλασμὸν ἁμαρτιῶν καὶ τὸ μέγα ἔλεος.

### Ἦχος β'.

Βαβαὶ τῆς εὐδοκίας σου, Ἀντιφωνητρία Κόρη πανάμωμε! σὺ γὰρ τὸ σεβάσμιον, τῆς ἁγίας Μορφῆς σου ἐκτύπωμα, τῷ εὐκλεεῖ σου θεράποντι Ἰωάννῃ, παραδόξως πάλαι ἀπεκάλυψας· ὅς ναόν σοι περικαλλῆ δομησάμενος, ἐν αὐτῷ ὡς ἁγίασμα ταύτην, τῆς θεαυγοῦς σου χάριτος ἔθετο, ἁγιασμὸν μυστικῶς ἀναβλυστάνουσαν, τοῖς εὐλαβῶς προστρέχουσι καὶ βοῶσι· χαῖρε κεχαριτωμένη, Μῆτερ ἀνύμφευτε, Παρθένε ἡ τῶν πάντων δεσπόζουσα, μετὰ σοῦ ὁ Κύριος, ὁ διὰ σοῦ παρέχων ἡμῖν, ἱλασμὸν ἁμαρτιῶν καὶ τὸ μέγα ἔλεος.

### Ἦχος γ'.

Ὅτε Ἰωάννης ὁ ὅσιος, ὁ τοῦ Εὐαγγελίου τοῦ Υἱοῦ σου, ὑφηγήτωρ γενόμενος, τὴν τοῦ πυρὸς ἀνασωθεῖσαν Εἰκόνα σου ἀνεύρατο, τότε αὐτὴν ἀμώμοις ἐναγκαλισάμενος χερσί, δαυϊτικὸν ὕμνον μελῳδῶν ἀνεβόα· τὸ πρόσωπόν σου λιτανεύσουσι, διὰ παντὸς Θεομῆτορ, τοῦ λαοῦ οἱ πλούσιοι. Ὅθεν σήμερον καὶ ἡμεῖς, ὄντες ἐν μετοχῇ τῆς ἐκείνου χαρᾶς, πανδημεὶ μετ' εὐφροσύνης ἑορτάζομεν, καὶ τὰ μεγαλεῖά σου θαυμάζοντες λέγομεν· ἐθαυμαστώθη Μῆτερ, Ἀντιφωνήτρια ἄχραντε, ἡ ὑλικὴ Μορφὴ σου ἀληθῶς, ὅτι ἐν αὐτῇ πλουσίως ἐκχυθεῖσα ἡ χάρις σου, ἀγαθὰ ἡμῖν παρέχει, ἁγιασμόν τε καὶ ἔλεος.

Ἦχος δ'.

Μνησθήσομαι τοῦ ὀνόματός σου, ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ, πάλαι ἐν ψαλμοῖς ἐμελῴδει σοι, ὁ προπάτωρ σου Δαυΐδ Θεοκυῆτορ. Νῦν δὲ ἡμεῖς μεμνημένοι, τῆς παντίμου σου Εἰκόνος τὰ θαυμάσια, μακαρίζομέν σε ὑμνολογίαις πιστῶς· τίς γὰρ αὐτῇ προστρέξας, κατησχυμμένος ἐξεπορεύθη ποτέ· πᾶσι γὰρ πάντοτε παρέσχες, τὰ πρὸς τὸ συμφέρον αἰτήματα, ἃ καὶ παρέχεις εὐμενῶς, τοῖς πίστει σοι βοῶσι· χαῖρε κεχαριτωμένη, Ἀντιφωνήτρια Μῆτερ ἀνύμφευτε, μετὰ σοῦ ὁ Κύριος, ὁ διὰ σοῦ τῷ κόσμῳ δωρησάμενος, ἀφθονίαν ἀγαθῶν καὶ ζωὴν τὴν αἰώνιον.

Δόξα Πατρί. Ἦχος πλ. δ'.

Σήμερον ἑορτὴν καινὴν συστησάμενοι, ἐν τῇ τῆς ἀποδόσεως ἡμέρᾳ, τοῦ σεπτοῦ Γενεθλίου σου, τὰ μεγαλεῖα τῆς Εἰκόνος σου Θεοτόκε, χρεωστικῶς διηγούμεθα· ἐξ αὐτῆς γὰρ ἡ χάρις σου, μυστικῶς ἡμῖν ἀναπηγάζουσα, ἐν θλίψεσι καὶ ἀδοκήτοις συμφοραῖς, ἡμᾶς ἀσφαλῶς διασῴζει. Διὸ καὶ τὸν ἀσπασμὸν τοῦ Ἀγγέλου, εὐλαβῶς μελῳδοῦντές σοι λέγομεν· χαῖρε Κεχαριτωμένη, Ἀντιφωνήτρια Κόρη μητρόθεε, μετὰ σοῦ ὁ Κύριος, ὁ ἐκ σοῦ ἐνανθρωπήσας Θεός, εἰς σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Τῆς Ἑορτῆς.

ΕΙΣ ΤΟΝ ΣΤΙΧΟΝ, Στιχηρὰ Προσόμοια.
Ἦχος πλ. α'. Χαίροις ἀσκητικῶν.

Χαίροις Θεοκυῆτορ ἁγνή, ἐπουρανίου χαρμονῆς ἡ γεννήτρια, τοῦ ῥείθρου τοῦ ἀθανάτου, ἐσφραγισμένη πηγή, ἡ τὴν κτίσιν πᾶσαν καταρδεύουσα· Παρθένος ἡ ἄσπιλος, ἡ ὡς βρέφος κυήσασα, νέον τὸν Κτίστην, καὶ Δεσπότην τοῦ σύμπαντος, ἡ δεσπόζουσα, ἀληθῶς πάσης κτίσεως· Κόρη Ἀντιφωνήτρια, Μονῆς σου ἡ εὔκλεια, ἀβοηθήτων προστάτις, καὶ θλιβομένων παράκλησις· Χριστὸν μὴ ἐλλίπῃς, ἱκετεύουσα ἀπαύστως, ὑπὲρ τῶν δούλων σου.

Στίχ. Μνησθήσομαι τοῦ ὀνόματός σου.....

Χαίροις Θεογεννῆτορ ἁγνή, ἡ μόνη σχοῦσα γυναικῶν τόκον ἄφθορον, ὠδῖσιν ἀποτεκοῦσα, παρθενικαῖς τοῦ Πατρός, Λόγον ἀποῤῥήτως τὸν προάναρχον· ἡ νᾶμα ζωήρυτον, οὐρανίου χρηστότητος, καὶ συμπαθείας, ἐκ τῆς θείας Εἰκόνος σου, ἀποστάζουσα, εἰς ψυχῶν περιποίησιν· Μῆτερ Ἀντιφωνήτρια, θαυμάτων ἡ ἄβυσσος, ἡ δωρεὰν τοῖς αἰτοῦσι, τὰ ἀγαθὰ πρυτανεύουσα. Ἀεὶ οὖν δυσώπει, τὸν Θεὸν ἡμῖν δοθῆναι, χάριν καὶ ἔλεος.

Στίχ. Τὸ πρόσωπόν σου λιτανεύσουσιν...

Χαίροις Παρθενομῆτορ ἁγνή, ἡ πολυσύμβολος Παρθένος καὶ ἄσπιλος, τὸ βλάστημα τῆς νηστείας, Ἰωακεὶμ τὸ σεπτόν, προσευχῆς τε Ἄννης ἄνθος εὔοσμον· ἡ ξένως φωνήσασα, ἐκ τοῦ δάσους τῷ δούλῳ σου, καὶ τῆς Μορφῆς σου, τὴν ἐμφέρειαν Δέσποινα, φανερώσασα, ὡς τῆς δόξης σου τέμενος· χαίροις ἡ ἀναβλύζουσα, ἐκ ταύτης τὰς χάριτας, ὡς ἐκ πηγῆς ἀενάου, Ἀντιφωνήτρια ἄχραντε, καὶ πάντας πλουσίως, καταρδεύουσα τοὺς πίστει, σὲ μακαρίζοντας.

Δόξα Πατρί. Ἦχος πλ. δ'.

Δεῦτε πιστοὶ σήμερον, τὴν Θεοτόκον Μαρίαν μακαρίσωμεν· ἐκ τῆς Εἰκόνος γὰρ αὐτῆς, ὑπερβαλλούσης προνοίας τὰς ἐκφάνσεις, εὐδοκίᾳ ἀποφαίνει τοῦ κρείττονος, σωμάτων ἰωμένη ἀσθενείας, καὶ ψυχικοὺς μώλωπας θεραπεύουσα, τῶν εὐλαβῶν προσφύγων αὐτῆς, τῶν γηθοσύνως ἀναβοώντων· χαῖρε Ἀντιφωνήτρια παντάνασσα, τῶν Μυριοκεφάλων Μονῆς ἡ προστασία, καὶ Κρήτης τὸ ἄῤῥηκτον προτείχισμα· τοὺς ἐπὶ σὲ πεποιθότας, μὴ καταισχύνῃς ὡς φιλάγαθος.

Καὶ νῦν. Τῆς Ἑορτῆς.

Νῦν ἀπολύεις, τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον τῆς Ἑορτῆς καὶ εἶτα τὸ τῆς ἁγίας Εἰκόνος.

Ἦχος δ'. Ταχὺ προκατάλαβε.

Εἰκών σου ἡ πάντιμος, τοῦ ἀδηφάγου πυρός, ἁλώβητος μείνασα, τῷ Ἰωάννῃ τῇ σῇ, προνοίᾳ δεδώρηται· ἣν Μυριοκεφάλων, ἡ Μονὴ κεκτημένη, χάριν πολλὴν λαμβάνει, ἐξ αὐτῆς ἐκβοῶσα· χαῖρε Θεοῦ ἡ Μήτηρ, Ἀντιφωνήτρια.

Καὶ πάλιν, τὸ τῆς Ἑορτῆς.

Ἀπόλυσις

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α' Στιχολογίαν, Κάθισμα
Ἦχος α'. Τὸν τάφον σου Σωτήρ.

Τὴν θείαν σου Μορφήν, ἐν Εἰκόνι ὁρῶντες, βαστάζουσαν φρικτῶς, τὸν Δεσπότην τοῦ κόσμου, τὸν νοῦν ἐξιστάμεθα, καὶ πιστῶς ἐκβοῶμέν σοι· χαῖρε Δέσποινα, Ἀντιφωνήτρια Κόρη, ἡ βραβεύουσα,

ταῖς μητρικαῖς σου πρεσβείαις, ἡμῖν χάριν ἄφθονον.

Δόξα Πατρί. Ἦχος δ'. Κατεπλάγη Ἰωσήφ.

Κατεπλάγη ἀληθῶς, τὸ ὑπὲρ φύσιν θεωρῶν, Ἰωάννης ὁ σοφός, καὶ ἐν Ὁσίοις θαυμαστός, ἐν τῇ εὑρέσει Εἰκόνος σου τῆς παντίμου· ταύτην γὰρ τὸ πῦρ, οὐ κατέφλεξε, βάτον ὡς τὸ πρίν, Θεονύμφευτε, καὶ ὅλος ἔνθους, ὅλος πεπλησμένος, θείας χαρᾶς ἀνεβόα σοι· Παρθένε χαῖρε, εὐλογημένη, τοῦ Κυρίου μου Μήτηρ.

Καὶ νῦν. Τῆς Ἑορτῆς.

Μετὰ τὴν β' Στιχολογίαν, Κάθισμα.
Ἦχος γ'. Τὴν ὡραιότητα.

Τὴν ὡραιόμορφον, θείαν Εἰκόνα σου, ὡς σκεῦος τίμιον, σῆς ἀγαθότητος, νῦν προσκυνοῦμεν σχετικῶς, πανάχραντε Θεοτόκε, πρὸς σὲ τὸ πρωτότυπον, τὴν τιμὴν ἀπονέμοντες, καὶ ἀναβοῶμέν σοι, ἱερῶς ἀγαλλόμενοι· Θεοῦ χαῖρε ἡ ἄφθορος Μήτηρ, Ἀντιφωνήτρια Παρθένε.

Δόξα Πατρί. Ἦχος δ'. Κατεπλάγη Ἰωσήφ.

Καταπλήττονται Ἁγνή, τὰς διανοίας οἱ πιστοί, ἐν Εἰκόνι εὐαγεῖ, ὡς νέον βρέφος τοῦ παντός, τὸν Ποιητήν σε συνέχουσαν καθορῶντες· ὅθεν τὴν αὐτοῦ συγκατάβασιν, πίστει ἀκλινεῖ μεγαλύνουσι, καὶ ἐν φωναῖς αἰσίαις σε ὑμνοῦσιν, Ἀντιφωνήτρια κράζοντες· Παρθένε χαῖρε, τοῦ Βασιλέως, ὁ θεότευκτος θρόνος.

Καὶ νῦν. Τῆς Ἑορτῆς.

Μετὰ τὸν Πολυέλεον, Κάθισμα.
Ἦχος πλ. δ'. Τὸ προσταχθὲν μυστικῶς.

Τὰς διαδόσεις τῶν χαρίτων σου Παρθένε, ἐκ τῆς ἁγίας σου λαμβάνοντες Εἰκόνος, μελῳδοῦμέν σοι αἴνους εὐχαριστηρίους· νοσήματα θεραπεύεις γὰρ ἀλγεινά, δαιμόνων τε τὴν κακίαν ἀποσοβεῖς, καὶ κινδύνων τε θλίψεων, καὶ συμφορῶν χαλεπῶν, λυτροῦσαι τοὺς κραυγάζοντας· χαῖρε Ἀντιφωνήτρια.

Δόξα Πατρί. Καὶ νῦν. Τῆς Ἑορτῆς.

Εἶτα, οἱ Ἀναβαθμοί, ἤτοι τὸ α' Ἀντίφωνον τοῦ δ' ἤχου καὶ τὸ Προκείμενον.

Μνησθήσομαι τοῦ ὀνόματός σου ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ.
Στίχ. Τὸ πρόσωπόν σου λιτανεύσουσιν οἱ πλούσιοι τοῦ λαοῦ.

Εὐαγγέλιον, ζήτει τῇ η' Σεπτεμβρίου.

Ὁ Ν'. Δόξα Πατρί. Ταῖς τῆς Θεοτόκου... Καὶ νῦν. Ταῖς τῆς Παναχράντου...

Ἰδιόμελον. Ἦχος πλ. β'.
Στίχ. Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου...

Θεοτόκε ἀειπάρθενε, τοῦ ἁγιαστικοῦ σου μύρου ἀλάβαστρον, τὸ πανυπέρτιμον τῆς Μορφῆς σου Ἐκτύπωμα, ἐπισκιάσει τῆς χάριτός σου ἀνέδειξας· διὸ τὰ μεγαλεῖα τῶν θαυμάτων σου, διηγούμενοι ἀναβοῶμεν· Ἀντιφωνήτρια Δέσποινα, μὴ παύσῃ ἐν παντὶ ἡμᾶς περιέπουσα, τοὺς εὐλαβῶς σοι προσπίπτοντας.

Σῶσον, ὁ Θεός, τὸν λαόν σου...

Εἶτα· οἱ Κανόνες τῆς Ἑορτῆς καὶ ὁ Κανὼν τῆς ἁγίας Εἰκόνος, οὗ ἡ Ἀκροστιχίς· «Ἀντιφωνήτρια χαῖρε Παρθένε. Κυρίλλου».

Ὠδὴ α'. Ἦχος πλ. δ'. Ἁρματηλάτην Φαραώ.

Ἀνερμηνεύτως ἐκ φωτὸς κυήσασα, φῶς τὸν Δεσπότην Χριστόν, ὡς τῶν ποιημάτων, πάντων ὑπερέχουσα, φῶς μοι ἐξαίτει ἄνωθεν, ὡς ἂν πόθῳ ὑμνήσω, τῆς σῆς Εἰκόνος τὰς χάριτας, ὦ Ἀντιφωνήτρια Δέσποινα.

Νέον παιδίον τὸν Χριστὸν ἐβάστασας, ἐν ταῖς ἀγκάλαις ταῖς σαῖς, δι' ἡμᾶς ἀτρέπτως, ἄνθρωπον γενόμενον· διό σε μακαρίζομεν, σχετικῶς προσκυνοῦντες, τὸ τῆς Μορφῆς σου Ἐκτύπωμα, ὦ Ἀντιφωνήτρια Δέσποινα.

Τὰ μεγαλεῖα τῆς σεπτῆς Εἰκόνος σου, τίς ἀνυμνήσει Ἁγνή; πᾶσι γὰρ ἐκφαίνει, τῆς κηδεμονίας σου, τὸν πλοῦτον τὸν ἀκένωτον, θεραπεύουσα νόσους, καὶ ἀπελαύνουσα δαίμονας, ὦ Ἀντιφωνήτρια Δέσποινα.

Ἵλεων Μῆτερ εὐμενῶς ἀπέργασαι, πᾶσιν ἡμῖν τὸν Θεόν, τοῖς προσερχομένοις, σῷ σεπτῷ Μορφώματι, ἐξ οὗ τὸ ζωοπάροχον, τῆς σῆς χάριτος ὕδωρ, ὑπερεκβλύζεις τοῖς χρῄζουσι, ὦ Ἀντιφωνήτρια Δέσποινα.

Καταβασία. Σταυρὸν χαράξας.

Ὠδὴ γ'. Οὐρανίας ἁψῖδος.

Φανερώσασα ξένως, τῷ εὐκλεεῖ κτίτορι, πάλαι Ἰωάννῃ τὴν θείαν, Μῆτερ Εἰκόνα σου, ταύτην κατέστησας, πνευματικὸν ἰατρεῖον, καὶ πηγὴν ἀκέ-

νωτον, τῶν θαυμασίων σου.

Ὡραιώθης Παρθένε, ὑπὲρ βροτοὺς ἅπαντας, καὶ ἡμῖν ὡραία ἡ θεία, Εἰκών σου δείκνυται, ἣν ἀσπαζόμενοι, γονυκλινῶς οἱ σοὶ δοῦλοι, τὰ πολλά σου θαύματα, ἀνακηρύττομεν.

Νόμῳ φέρεις μητρῴῳ, τὸν Λυτρωτὴν Κύριον, ὦ Ἀντιφωνήτρια Κόρη, ἐν ταῖς ἀγκάλαις σου, ὃν ἱκετεύουσα, ὑπὲρ ἡμῶν μὴ ἐλλίπῃς, τῶν μακαριζόντων σου, τόκον τὸν ἄφθορον.

Ἡλιόμορφος θρόνος, καὶ φωτεινὸν ὄχημα, ἐν τῇ σῇ Εἰκόνι ὁρᾶσαι, Ἀντιφωνήτρια, Θεοῦ βαστάζουσα, σεσαρκωμένον τὸν Λόγον, τὸν ἡμᾶς ῥυσάμενον, τῆς παραβάσεως.

Καταβασία. Ῥάβδος εἰς τύπον.

Κάθισμα. Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Τὴν θείαν Εἰκόνα σου, ἄγνωστον οὖσαν, τὸ πρίν, φρικτῶς ἐφανέρωσας, δι᾿ ἀοράτου φωνῆς, Παρθένε τῷ δούλῳ σου. Ὅθεν ἡμεῖς ἐκ ταύτης, νῦν καρπούμενοι χάριν, πόθῳ σοι τοῦ Ἀγγέλου, ἐκβοῶμεν τὸ Χαῖρε· χαῖρε εὐλογημένη, Ἀντιφωνήτρια.

Δόξα Πατρί. Ἦχος ὁ αὐτός. Κατεπλάγη Ἰωσήφ.

Διασώσασα τὴν σήν, θείαν Εἰκόνα τοῦ πυρός, ἐφανέρωσας αὐτήν, τῷ Ἰωάννῃ τῷ σοφῷ, τῇ οὐρανίῳ ὀμφῇ σου ὦ Θεοτόκε, ὅς σοι εὐσεβῶς, ναὸν δειμάμενος, ταύτην ἐν αὐτῷ, ἐθησαύρισε, τῆς πρὸς ἡμᾶς ἁγίας σου προνοίας, καὶ εὐσπλαγχνίας τεκμήριον· διό σοι πόθῳ, βοῶμεν χαῖρε, ἡ δεσπόζουσα πάντων.

Καὶ νῦν. Τῆς Ἑορτῆς.

Ὠδὴ δ΄. Σύ μου ἰσχύς.

Τὴν εὐαγῆ, Ἀντιφωνήτρια Δέσποινα, σὴν Εἰκόνα, πρῴην οὖσαν ἄγνωστον, τῷ Ἰωάννῃ τῷ εὐκλεεῖ, παραδόξῳ τρόπῳ, ὡς ἀγαθὴ ἐφανέρωσας, καὶ ταύτην πρυτανεῖον, δωρεῶν οὐρανίων, τῇ πολλῇ σου ἀνέδειξας χάριτι.

Ῥῶσιν ἀεί, ἄφθονον νέμει τοῖς δούλοις σου, ἡ Εἰκών σου, ὦ Ἀντιφωνήτρια, καὶ θεραπεύει τὰς τῶν ψυχῶν, πληγὰς ἐξαγίστους, τοῖς ἐκ βαθέων σοι κράζουσι· ἁγνὴ Παρθένε χαῖρε, οὐρανὸς ὁ τὴν δόξαν, τοῦ Θεοῦ ἀκριβῶς διηγούμενος.

Ἴδε ἡμᾶς, ἐν συμπαθείᾳ τὰ τέκνα σου, φιλοστόργως, βλέψον θεονύμφευτε, τοὺς τῇ Εἰκόνι σου εὐλαβῶς, Μῆτερ παρεστῶτας, καὶ πᾶσι δίδου τὴν χάριν σου, κραυγάζουσί σοι· χαῖρε, παντευλόγητε Κόρη, στεναγμῶν τῶν τῆς Εὔας κατάπαυσις.

Ἀπὸ δεινῶν, λοιμοῦ λιμοῦ τε καὶ θλίψεων, ἀδοκήτων συμφορῶν Πανάχραντε, κινδύνων νόσων τε πειρασμῶν, λυπηρῶν παντοίων, σῇ ἀντιλήψει διάσωσον, τοὺς πίστει σοι βοῶντας· χαῖρε ῥάβδος ἐκ ῥίζης, Ἰεσσαὶ ἀνηρότως βλαστήσασα.

Καταβασία. Εἰσακήκοα Κύριε.

Ὠδὴ ε΄. Ἵνα τί με ἀπώσω.

Χαῖρε Μῆτερ ἁγία, τὸ παραδοξότατον, πρᾶγμα καὶ ἄκουσμα· χαῖρε ἐν γαστρί σου, τῆς Τριάδος τὸν ἕνα χωρήσασα· μὴ οὖν καταισχύνῃς, ἡμᾶς πιστῶς ἀσπαζομένους, σῆς ἀχράντου Μορφῆς τὴν ἐμφέρειαν.

Ἀπειρόγαμε Μῆτερ, ὡς ἐχέγγυον θεῖον, τῆς προστασίας σου, Μυριοκεφάλων, ἡ Μονὴ τὴν Εἰκόνα σου ἔχουσα, χαῖρέ σοι κραυγάζει, Ἀντιφωνήτρια Παρθένε, εὐσεβῶν ἀσφαλὲς καταφύγιον.

Ἱλαρότητος πλήρης, ἡ ἁγία Μορφή σου, ἐν τῇ Εἰκόνι σου, τῇ ἁγιογράφῳ, Θεοτόκε πανύμνητε δείκνυται, ἥνπερ καθορῶντες, Ἀντιφωνήτρια ἐλπίδος, καὶ χαρᾶς ἀνεκφράστου πληρούμεθα.

Ῥυπτικῇ σου πρεσβείᾳ, Ἄχραντε ἐκκάθαρον, ψυχῆς τοὺς μώλωπας, καὶ προσκυνητήν με, σῆς Εἰκόνος ἀνάδειξον ἄξιον, ἵνα σοι κραυγάζω· χαῖρε θερμὴ καταφυγή μου, προστασία βεβαία καὶ στήριγμα.

Καταβασία. Ὦ τρισμακάριστον ξύλον.

Ὠδὴ στ΄. Ἱλάσθητί μοι Σωτήρ.

Ἐφώνησας θαυμαστῶς, τῷ Ἰωάννῃ τῷ κτίτορι, καὶ τούτῳ τὴν θαυμαστήν, Εἰκόνα σου ἔδειξας, ὅλην ἐξαστράπτουσαν, τῇ φωτοχυσίᾳ, τῆς ἀῤῥήτου εὐσπλαγχνίας σου.

Παρέχει τὰς δωρεάς, τῆς ὑπὲρ νοῦν συμπαθείας σου, Εἰκών σου ἡ θαυμαστή, ὦ Ἀντιφωνήτρια, ψυχῆς τε καὶ σώματος, παύουσα τοὺς πόνους, καὶ σοβοῦσα τὸν ἀντίπαλον.

Ἀκρίδων δεινῆς πληγῆς, ἡμᾶς πολλάκις ἀπήλλαξας, τῇ λιτανεύσει τοῦ σοῦ, ἁγίου Μορφώματος· πλειστάκις δὲ ἔλυσας, δεινὴν ἀνομβρίαν, θαυμαστὴ Ἀντιφωνήτρια.

Ῥωννύμενοι οἱ πιστοί, τῇ ἐκ τῆς θείας Εἰκόνος σου, ἐκχεομένῃ ἀεί, Μητράνανδρε χάριτι, ἐμ-

φρόνως βοῶμέν σοι· χαῖρε τοῦ ἐλέους, ἡ πηγὴ Ἀντιφωνήτρια.

Καταβασία. Νοτίου θηρός.

Κοντάκιον. Ἦχος πλ. δ'. Τῇ ὑπερμάχῳ.

Τὸ τῆς ἀχράντου σου Μορφῆς Ἀντιφωνήτρια,
νῦν προσκυνοῦντες σχετικῶς θεῖον Ἐκτύπωμα,
ἀναμέλπομέν σοι ὕμνους εὐχαριστίας,
ὅτι χάριν ἐξ αὐτοῦ ἀεὶ προχέουσα,
ἁγιάζεις τοὺς πιστῶς προσερχομένους σοι,
καὶ βοῶντάς σοι· χαίροις πάντων βοήθεια.

Ὁ Οἶκος.

Ἀσωμάτων αἱ τάξεις, τὴν ἁγίαν σου δόξαν, ὑμνοῦσιν ἐν ὑψίστοις Παρθένε· ἐν γῇ δὲ ἡμεῖς ὁ σὸς λαός, αὐτῆς τεκμήριον ἔκλαμπρον ἔχοντες, τὴν εὐαγῆ Εἰκόνα σου, ἐν κατανύξει σοι βοῶμεν·
Χαῖρε ἡ πύλη τῆς σωτηρίας·
χαῖρε ἡ βρύσις τῆς εὐσπλαχνίας.
Χαῖρε ἀφθαρσίας τὸν στάχυν ἐκφύσασα·
χαῖρε σωτηρίας τὸ ἄνθος ἀνθήσασα.
Χαῖρε ὅτι ἀπεκάλυψας σὴν Μορφὴν τὴν ὑλικήν·
χαῖρε ὅτι χάριν ἄφθονον ἡμῖν βλύζεις ἐξ αὐτῆς.
Χαῖρε τῷ Ἰωάννῃ ἡ φωνήσασα ξένως·
χαῖρε τοῖς ὑμνηταῖς σου χορηγοῦσα τὰ κρείττω.
Χαῖρε παντοίας νόσους ἐλαύνουσα·
χαῖρε ἡμῖν ὑγείαν βραβεύουσα.
Χαῖρε Θεοῦ ἡλιόμορφος θρόνος·
χαῖρε Χριστοῦ φωτοφόρος καθέδρα.
Χαίροις πάντων βοήθεια.

Συναξάριον.

Τῇ ΙΑ' τοῦ αὐτοῦ μηνός, σύναξιν ἐπιτελοῦμεν εἰς τιμὴν καὶ μνήμην τῆς Ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκου καὶ Ἀειπαρθένου Μαρίας, τῆς «Ἀντιφωνητρίας», ἧς ἡ θαυματουργὸς Εἰκὼν εὕρηται ἐν τῇ Μονῇ τῶν Μυριοκεφάλων.

Στίχοι.

Νᾶμα προχέει οὐρανίων χαρίτων
τοῖς εὐσεβέσιν ἡ Εἰκών σου Παρθένε.

Ἑνδεκάτῃ ᾄδω Ἀντιφωνήτριαν Κόρην.

Συναξάριον.

Ὅσιος καὶ θεοφόρος Πατὴρ ἡμῶν Ἰωάννης, ὁ ἐπονομαζόμενος Ξένος, τὸν ἀσκητικὸν μετερχόμενος δίαυλον ἔν τινι σπηλαίῳ τοῦ ὄρους τῶν Μυριοκεφάλων, καθ' ἑκάστην νύκτα ἑώρα παράδοξόν τι φῶς εἰς τὸ παρακείμενον δάσος. Καταπλαγεὶς δὲ τῷ ξένῳ θεάματι κατῆλθεν τοῦ σπηλαίου ἀλλὰ οὐκ ἠδυνήθη προσεγγίσαι τὸν τόπον ἔνθα τὸ φῶς ἐπέλαμπεν, ὅτι τὸ δάσος πυκνότατον ἦν καὶ ἀπροσπέλαστον. Παραιτηθεὶς οὖν τοῦ σκοπουμένου ἀνέκαμψε εἰς τὸ σπήλαιον καὶ τὴν πρωΐαν προσέταξε τοὺς ἐργαζομένους ἐν τῇ οἰκοδομῇ τοῦ ἄχρι σήμερον σῳζομένου Καθολικοῦ τῆς σεβασμίας Μονῆς τῆς Ὑπεραγίας Θεοτόκου ἀποψιλώσασθαι τὸ δάσος· ἀλλ' οὗτοι πρὸς ἀποφυγὴν τῆς κοπιώδους ἐργασίας προέβησαν εἰς πυρπόλησιν αὐτοῦ. Τοῦ πυρὸς δὲ πᾶσαν ὕλην φλέγοντος καὶ ἀναλίσκοντος ἠκούσθη ἐκ τοῦ δάσους φωνή, λέγουσα: «ἐνταῦθα εἰμί». Προσελθὼν δὲ ὁ μακάριος Ἰωάννης εἰς τὸν τόπον ἐκεῖνον εὕρατο τὴν Εἰκόνα τῆς Ὑπεραγίας Θεοτόκου, ἀλώβητον τοῦ πυρὸς διασωθεῖσαν. Χαρὰν δὲ μεγάλην χαίρων, ἀνεῖλε αὐτὴν καὶ μετέφερεν εἰς τὸν ὑπ' αὐτοῦ ἀναγειρόμενον Ναόν, ἔνθα ἄχρι σήμερον φυλάσσεται, θαύματα ἐνεργοῦσα τοῖς ἐν πίστει προσερχομένοις, διὰ τῆς ἐν αὐτῇ ἐνοικούσης χάριτος τῆς Θεομήτορος.

Ταῖς τῆς Παναχράντου σου Μητρὸς πρεσβείαις, Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

Ὠδὴ ζ'. Παῖδες Ἑβραίων.

Θρόνος πυρίμορφος Κυρίου, καὶ φωτόμορφος καθέδρα τοῦ Δεσπότου, ἐν Εἰκόνι τῇ σῇ, Παντάνασσα ὁρᾶσαι, ἣν προσκυνοῦντες ᾄδομεν, χαριστήριόν σοι ὕμνον.

Ἔχει ἡ Κρήτη σὴν Εἰκόνα, πλοῦτον ἄσυλον μητράνανδρε Παρθένε, ἣν τιμῶσα τὴν σήν, συμπάθειαν καρποῦται, τὸν Λυτρωτὴν δοξάζουσα, τὸν ἐκ σοῦ φρικτῶς τεχθέντα.

Νεῦσον Παρθένε τῇ φωνῇ μου, καὶ τοῖς πάθεσι, δεινῶς ἐσκοτισμένῳ, μετανοίας τὸ φῶς, ἐκ σῆς σεπτῆς Εἰκόνος, ἀνάτειλον καὶ σῶσόν με, μητρικῇ σου παῤῥησίᾳ.

Ἔνθους παρίσταμαι Παρθένε, σῷ Μορφώματι τῷ πλήρει συμπαθείας, καὶ ἐλπίζων τῇ σῇ, ἐνθέρμῳ ἀντιλήψει, τὸν ἀσπασμὸν οὐ παύομαι, τοῦ Ἀγγέλου μελῳδῶν σοι.

Καταβασία. Ἔκνοον πρόσταγμα.

Ὠδὴ η'. Τὸν ἐν ὄρει ἁγίῳ.

Καταιγίς με τῶν θλίψεων χειμάζει, καὶ οὐκ ἔχω ἐγκόσμιον ἐλπίδα· διὸ πιστῶς προστρέχω τῇ Εἰκόνι σου, σῶσόν με κραυγάζων, τὸν ἀπεγνωσμένον, Θεόνυμφε Μαρία.

Ὕμνοις πάντες ἀεὶ χαριστηρίοις, Θεοτόκε τὰς θείας διαδόσεις, τῆς πρὸς ἡμᾶς θερμῆς κηδεμο-

νίας σου, μέλπομεν βοῶντες· χαῖρε εὐσεβούντων, ἀντίληψις καὶ σκέπη.

Ῥάβδος Μῆτερ ἐνθέου σου προνοίας, ἡ Εἰκών σου ἡ ἄχραντος ὑπάρχει, πρὸς τὰς ὁδοὺς Κυρίου τοῦ θελήματος, πάντας ὁδηγοῦσα, τοὺς ἀναθεμένους, εἰς σὲ τὴν προστασίαν.

Ἱλαρύνεις ψυχάς τε καὶ καρδίας, τῶν ἐν πίστει θερμῇ ἀτενιζόντων, σῇ ὑλικῇ Μορφῇ Ἀντιφωνήτρια, ἥν τῷ Ἰωάννῃ, πάλαι τῷ ὁσίῳ, ἀπέδωκας ὡς δῶρον.

Καταβασία. Εὐλογεῖτε Παῖδες.

Ὠδὴ θ'. Ἐξέστη ἐπὶ τούτῳ.

Λειμὼν Ἀντιφωνήτρια μυστικός, ἀνεδείχθη Εἰκών σου ἡ πάντιμος, τῶν δωρεῶν, τῶν ὑπερκοσμίων σου ταῖς ὀσμαῖς, τερπνῶς ἀρωματίζουσα, τοὺς ἀναβοῶντάς σοι εὐλαβῶς· σεμνὴ Παρθένε χαῖρε, ἡ ἀπελασαμένη, Εὔας τὴν λύπην τῆς προμήτορος.

Λαμπρά τε καθορᾶται καὶ φωταυγής, Θεοτόκε Μαρία ἡ ὄψις σου, καὶ ἀληθῶς, τίμιον τὸ εἶδος σου καὶ τερπνόν, καὶ γαληνὸν τὸ πρόσωπον, ἐν τῆς ἐμφερείας σου τῇ Μορφῇ, ἥν πίστει προσκυνοῦντες, εὐλαβῶς ἐκβοῶμεν· χαῖρε σεμνὴ Ἀντιφωνήτρια.

Ὁ θρόνος ὁ πυρίπνους τοῦ Λυτρωτοῦ, εὐσπλαγχνίας πηγὴ ἡ ἀκένωτος, τῶν εὐσεβῶν, ἡ ἐν τοῖς κινδύνοις καταφυγή, καὶ κραταιὰ βοήθεια, ὦ Ἀντιφωνήτρια εὐμενής, εὐμένιζε εὐχαῖς σου, ἡμῖν τοῖς ἀσυνέτοις, τὸν σαρκωθέντα ἐξ αἱμάτων σου.

Ὑπέρμαχος Παρθένε ἔσο ἀεί, τῇ ἁγίᾳ Μονῇ σου καὶ ἔφορος, καὶ τῷ λαῷ, πάσης τῆς Ρεθύμνης ἐν πειρασμοῖς, κινδύνοις τε καὶ θλίψεσι, ῥῦστις καὶ ἀντίληψις ἀψευδής· κἀμοὶ δὲ τῷ τοὺς ὕμνους, ὑφάναντί σοι πόθῳ, παντὶ ἐν βίῳ παραμύθιον.

Καταβασία. Μυστικὸς εἶ Θεοτόκε.

Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε.

Εἰκόνα σου τὴν πάνσεπτον, ἁγνὴ Ἀντιφωνήτρια, νῦν σχετικῶς προσκυνοῦντες, δεόμεθα ἐκ καρδίας, Παρθένε παντευλόγητε, τῶν πάντων ἡ δεσπόζουσα, ῥῦσαι ἡμᾶς σῇ χάριτι, θλίψεων νόσων κινδύνων, καὶ συμφορῶν πολυτρόπων.

Καὶ τῆς Ἑορτῆς.

## ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ

Ἱστῶμεν στίχους δ' καὶ ψάλλομεν τὰ κάτωθι Στιχηρὰ Προσόμοια.

Ἦχος α'. Ὢ τοῦ παραδόξου θαύματος.

Ὢ τοῦ παραδόξου θαύματος! τοῦ παμφάγου πυρός, πᾶσαν ὕλην φλέγοντος, Μορφήν σου τὴν ὑλικήν, πάλαι διέσωσας, καὶ ταύτην ἄγνωστον πρίν, τῷ Ἰωάννῃ φρικτῶς φανερώσασα, ἀνέδειξας ἀψευδές, τῆς πρὸς ἡμᾶς σου εὐνοίας τεκμήριον. Ὅθεν ἐξ αὐτῆς ἀφθόνως, χάριτας καρπούμενοι, ὡς Θεοῦ σε Μητέρα, ὀρθοδόξως μακαρίζομεν.

Βαβαὶ τῆς σῆς εὐδοκίας Ἁγνή! σὺ γὰρ ἀενάως, ὡς πηγὴ ἀκένωτος, ἐκβλύζεις σῶν δωρεῶν, ῥεῖθρον τὸ ἄϋλον, εὐφραίνουσα μυστικῶς, τοὺς προσιόντας τῇ θείᾳ Εἰκόνι σου, καὶ ᾄδοντας εὐλαβῶς, τὰ ὑπὲρ νοῦν μεγαλεῖα τῆς δόξης σου, καὶ βοῶντάς σοι τὸ Χαῖρε, ὦ Ἀντιφωνήτρια· χαῖρε ἄχραντε Κόρη, ἡ ἡμᾶς εὐχαῖς σου σῴζουσα.

Τὴν σὴν Εἰκόνα τὴν ἄχραντον, ἥν τῆς Μάνδρας ταύτης, δομήτωρ ὁ Ὅσιος, ὡς κλῆρον πᾶσιν ἡμῖν, Μῆτερ κατέλιπε, κυκλοῦντες πανευλαβῶς, τῆς θεαυγοῦς σου μετέχομεν χάριτος, καὶ μέλπομεν ἱερῶς, σῆς εὐσπλαγχνίας τὸν πλοῦτον κραυγάζοντες· Κεχαριτωμένη χαῖρε, ὦ Ἀντιφωνήτρια, τοῦ λαοῦ σου ἡ σκέπη, καὶ ἀτίνακτον προτείχισμα.

Δόξα Πατρί. Ἦχος πλ. β'.

Ὡς ἀσφαλὲς ἐχέγγυον, τῆς περὶ ἡμᾶς Θεοτόκε, μητρικῆς κηδεμονίας σου, ὁ κτίτωρ Ἰωάννης ὁ ὅσιος, τὴν ὑλικὴν Εἰκόνα τῆς Μορφῆς σου, ἐν ταύτῃ τῇ περιπύστῳ Μονῇ κατέλιπεν· ὅθεν ταύτῃ προσπίπτοντες σήμερον, δαυϊτικῶς τὸ πρόσωπόν σου λιτανεύομεν, καὶ ἐξ αὐτῆς ἁγιασμὸν καὶ χάριν ἀρυόμενοι, γηθοσύνως ἀναβοῶμέν σοι· Ἀντιφωνήτρια Κόρη, ἀξίωσον καὶ ἡμᾶς σὺν σοί, ἀντιφωνεῖν τὸν τρισάγιον ὕμνον· Ἅγιος, Ἅγιος, Ἅγιος εἶ Κύριε, ὅτι ἀεὶ ποιεῖς μεγαλεῖα ὡς δυνατός, πᾶσι τοῖς πιστῶς σε δοξάζουσι.

Καὶ νῦν. Τῆς Ἑορτῆς.

Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Τὰ Τυπικά, οἱ Μακαρισμοὶ καὶ ἐκ τοῦ Κανόνος τῆς Ἑορτῆς ἡ γ', ἐκ δὲ τῆς ἁγίας Εἰκόνος ἡ στ' ᾠδὴ ἢ τὰ Ἀντίφωνα τῆς η' Σεπτεμβρίου. Ἀπόστολον καὶ Εὐαγγέλιον, ζήτει τῇ η' Σεπτεμβρίου.

### Κοινωνικόν.

Τὸ πρόσωπόν σου λιτανεύσουσιν οἱ πλούσιοι τοῦ λαοῦ. Ἀλληλούϊα.

### Μεγαλυνάριον.

Μυριοκεφάλων ἡ εὐαγής, Μονὴ σὴν Εἰκόνα, θησαυρίζουσα ἐξ αὐτῆς, καρποῦται ἀφθόνως, σῶν δωρεῶν τὸν πλοῦτον, καὶ αἶνόν σοι προσᾴδει, Ἀντιφωνήτρια.

### Ἕτερον.

Ἴδε ὡς φιλόστοργος ἐφ' ἡμᾶς, κυκλοῦντας Μορφῆς σου, τὴν ἐμφέρειαν εὐλαβῶς, διδοῦσα πλουσίως, τὸ θεῖον ἔλεός σου, εὐλογημένη Κόρη, Ἀντιφωνήτρια.

### Δίστιχον.

*Ἀντιφωνήτρια σῆς χάριτος πλῆσον*
*Κύριλλον μέλψαντα εὐλαβῶς σὴν δόξαν.*

